**Documentazione dell'arcadico-cipriota-panfilio**

1. a) Hesych. θ 937 L. θύϱδα· ἔξω. ᾿Αϱκάδες
   b) Strab. VIII 8,4 τῶν βεϱέθϱων, ἃ καλοῦσιν οἱ ᾿Αϱκάδες ζέϱεθϱα
   c) *IG* V/2 262 (= *SEG* XI 1087 = *DGE* 661: 490-460 a.C.) ὀͷέοι ἂν χϱε̄στέ̄ϱιον κακϱίνε̄ ε̑̄ γνο̄σιδίκα κϱιθέ̄ε̄ το̄ν χϱε̄μάτο̄ν, π̣ὲ τοῖς ϝοικιάταις τᾶς θεō ε̑ναι, κὰ ϝοικίας δάσασσθαι τὰς ἄνο̄δ᾿ ἐάσας. εἰ τοῖς ϝο̄φλε̄κόσι ἐπὶ τοῖδ᾿ ἐδικάσαμες ἅ τε θεὸς κὰς οἱ δικασσταί, ἀπυͷεδομίν[ο̄ς] το̄ν χϱε̄μάτο̄ν τὸ λάχος, ἀπεχομίνο̄ς κὰ το̑̄ϱϱέντεϱον γένος ε̑ναι ἄματα πάντα ἀπὺ τοῖ ἱεϱοῖ, ἵλαον ε̑ναι· εἰ δ᾿ ἄλλ̣αͷι[ς] ἐᾶτοι κὰ τόνν[υ], ἰνμενφὲς ε̑ναι.

2. a) Hesych. α 4697 L. †ἄνδα· αὕτη. Κύπϱιοι
   b) Hesych. κ 3608 L. κόϱζα· καϱδία. Πάφιοι
   c) Hesych. μ 1768 L. μοχοῖ· ἐντός. Πάφιοι
   d) Hesych. π 1028 H. πέσ<σ>ον· ὅϱος· χωϱίον Κύπϱιοι· πεδίον Αἰολεῖς· τινὲς ὁμαλές

3. a) Hesych. α 105 L. ἀβέλιον· ἥλιον ( p) †Κϱῆτες
   b) Hesych. α 1200 L. ἀδϱί· ἀνδϱί. Παμφύλιοι
   c) Hesych. αι 1676 L. αἰβετός· ἀετός. Πεϱγαῖοι
   d) Hesych. ζ 92 L. ζειγάϱη· ὁ τέττιξ παϱὰ Σιδήταις
   e) Hesych. λ 433 L. λάφνη· δάφνη. Πεϱγαῖοι
   f) *SGDI* 1260 (2a metà III sec. a.C.) [N]ε̣ϝ[ό]πολις Ἀφοϱδισίι[υ] Νεϝοπόλεις δαμιοϱγίσο̄σα πεϱτέ̣δο̄κε ἰς ἐϱέμνι καὶ πυλο̃να ἀ̣ϱγύϱυ μνᾶς φίκατι
   g) Brixhe 154 (II sec. a.C.) Ἀϱτιμιδώϱα καὶ Μειναδώϱα Ὀϱουμνείϝους φιλάδελφαι. Πελδώνεις Δϱιμάϱαυ ἐπέγϱαψε Μούβᾱ

4. a) *Il.* I 1-7 Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος / οὐλομένην, ἣ μυϱί᾿ Ἀχαιοῖς ἄλγε᾿ ἔθηκε, / πολλὰς δ᾿ ἰφθίμους ψυχὰς Ἄϊδι πϱοΐαψεν / ἡϱώων, αὐτοὺς δὲ ἑλώϱια τεῦχε κύνεσσιν / οἰωνοῖσί τε πᾶσι, Διὸς δ᾿ ἐτελείετο βουλή, / ἐξ οὗ δὴ τὰ πϱῶτα διαστήτην ἐϱίσαντε / Ἀτϱεΐδης τε ἄναξ ἀνδϱῶν καὶ δῖος Ἀχιλλεύς.
   b) *Il.* I 413-418 τὸν δ᾿ ἠμείβετ᾿ ἔπειτα Θέτις κατὰ δάκϱυ χέουσα· / ὤ μοι τέκνον ἐμόν, τί νύ σ᾿ ἔτϱεφον αἰνὰ τεκοῦσα; / αἴθ᾿ ὄφελες παϱὰ νηυσὶν ἀδάκϱυτος καὶ ἀπήμων / ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά πεϱ οὔ τι μάλα δήν· / νῦν δ᾿ ἅμα τ᾿ ὠκύμοϱος καὶ ὀϊζυϱὸς πεϱὶ πάντων / ἔπλεο· τώ σε κακῇ αἴσῃ τέκον ἐν μεγάϱοισι.
   c) *Il.* I 117-120 βούλομ᾿ ἐγὼ λαὸν σῶν ἔμμεναι ἢ ἀπολέσθαι· / αὐτὰϱ ἐμοὶ γέϱας αὐτίχ᾿ ἑτοιμάσατ᾿ ὄφϱα μὴ οἶος / Ἀϱγείων ἀγέϱαστος ἔω, ἐπεὶ οὐδὲ ἔοικε· / λεύσσετε γὰϱ τό γε πάντες ὅ μοι γέϱας ἔϱχεται ἄλλῃ.